ΟΚΤΩΗΧΟΣ - ΗΧΟΣ ΒΑΡΥΣ.

Τῇ Κυριακῇ Πρωΐ

Μηναῖον - ΤΗ ΙΔ' ΣΕΠΤΕΜΒΡΙΟΥ

Κυριακὴ μετὰ τὴν Ἑορτήν

Μηναῖον - ΤΗ Κ' ΣΕΠΤΕΜΒΡΙΟΥ

Μνήμη τοῦ Ἁγίου Μεγαλομάρτυρος Εὐσταθίου καὶ τῆς Συνοδίας αὐτοῦ

ΟΡΘΡΟΣ

Χορός:

Ἦχος βαρύς.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.*

Στίχ. β'. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ'. *Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.*

ΑΠΟΛΥΤΙΚΙΟΝ ΑΝΑΣΤΑΣΙΜΟΝ. *Ἦχος βαρύς.*

Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον· ἠνέῳξας τῷ λῃστῇ τὸν Παράδεισον· τῶν Μυροφόρων τὸν θρῆνον μετέβαλες, καὶ τοῖς σοῖς Ἀποστόλοις κηρύττειν ἐπέταξας, ὅτι ἀνέστης Χριστὲ ὁ Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα. ΤΩΝ ΑΓΙΩΝ. *Ἦχος δ'. Ταχὺ προκατάλαβε.*

Οἱ Μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· σχόντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον, ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. ΑΠΟΛΥΤΙΚΙΟΝ. ΤΟΥ ΣΤΑΥΡΟΥ. *Ἦχος α'.*

Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

OCTOECHOS - GRAVE MODE.

On Sunday Morning

Menaion - September 14

Sunday after the Feast

Menaion - September 20

Memory of the Holy Great-martyr Eustathius and Companions

MATINS

Choir:

Grave Mode.

God is the Lord, and hath revealed Himself to us. Blessed is he who comes in the name of the Lord.

Verse 1: *Give thanks to the Lord and call upon His holy name.*

Verse 2: *All the nations surrounded me, but in the name of the Lord I defended myself against them.*

Verse 3: *And this came about from the Lord, and it is wonderful in our eyes.*

RESURRECTIONAL APOLYTIKION. *Grave Mode.*

By Thy Cross Thou didst abolish death; to the thief Thou didst open Paradise; Thou didst transform the myrrh bearers' lamentation, and didst order Thine Apostles to preach that Thou art risen, O Christ our God, bestowing great mercy upon the world.

Glory. FOR THE SAINTS. *Mode 4. Come quickly.*

Thy Martyrs, O Lord, in their courageous contest for Thee * received as the prize the crowns of incorruption and life from Thee, our immortal God. * For since they possessed Thy strength, they cast down the tyrants * and wholly destroyed the demons' strengthless presumption. * O Christ God, by their prayers, save our souls, since Thou art merciful.

Both now. APOLYTIKION. FOR THE CROSS. *Mode 1.*

Save, O Lord, Thy people and bless Thine inheritance; grant Thou unto the faithful victory over adversaries. And by the power of Thy Cross do Thou preserve Thy commonwealth.

Ἱερεύς: Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Χορός: Σοί, Κύριε.

Ἱερεύς: Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χορός: Ἀμήν.

ΚΑΘΙΣΜΑ Α'.

Ἦχος βαρύς.

Ἡ ζωὴ ἐν τῷ τάφῳ ἀνέκειτο, καὶ σφραγὶς ἐν τῷ λίθῳ ἐπέκειτο· ὡς βασιλέα ὑπνοῦντα, στρατιῶται ἐφύλαττον Χριστόν, καὶ Ἄγγελοι ἐδόξαζον, ὡς Θεὸν ἀθάνατον· γυναῖκες δὲ ἐκραύγαζον· Ἀνέστη ὁ Κύριος, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα.

Τῇ τριημέρῳ ταφῇ σου σκυλεύσας τὸν θάνατον, καὶ φθαρέντα τὸν ἄνθρωπον, τῇ ζωηφόρῳ ἐγέρσει σου, ἀναστήσας Χριστὲ ὁ Θεός, ὡς φιλάνθρωπος· δόξα σοι.

Καὶ νῦν. ΤΗΣ ΕΟΡΤΗΣ. *Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.*

Τοῦ Σταυροῦ σου τὸ ξύλον προσκυνοῦμεν Φιλάνθρωπε, ὅτι ἐν αὐτῷ προσηλώθης ἡ Ζωὴ τῶν ἁπάντων. Παράδεισον ἠνέῳξας Σωτήρ, τῷ πίστει προσελθόντι σοι ληστῇ· καὶ τρυφῆς κατηξιώθη, ὁμολογῶν σοι, Μνήσθητί μου Κύριε. Δέξαι ὡς περ ἐκεῖνον καὶ ἡμᾶς, κραυγάζοντας· Ἡμάρτομεν, πάντες τῇ εὐσπλαγχνίᾳ σου, μὴ ὑπερίδῃς ἡμᾶς.

Priest: Again and again in peace let us pray to the Lord.

Choir: Lord, have mercy.

Priest: Help us, save us, have mercy on us, and protect us, O God, by Thy grace.

Choir: Lord, have mercy.

Priest: Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

Choir: To Thee, O Lord.

Priest: For Thine is the dominion, and Thine is the kingdom and the power and the glory, of the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

Choir: Amen.

KATHISMA I.

Grave Mode.

Life lay in the grave and a seal was set upon the stone. The soldiers guarded Christ as a sleeping King, and Angels glorified Him as the immortal God. And the women cried out: The Lord is risen, granting great mercy to the world.

Glory.

By Thy three day burial, Thou hast despoiled death. And by Thy life bringing arising, Thou hast raised up corrupted man, O Christ God, since Thou art the Friend of man. Glory be to Thee.

Both now. FOR THE FEAST. *Mode 1. The stone having been sealed/While Gabriel was saying.*

O friend of man, we venerate the wood of Thy divine Cross, * for Thou, Who art truly the Life of all things, wast nailed upon it. * O Saviour, to Paradise didst Thou * admit the thief that came to Thee in faith, * who confessing Thee: Remember me, O my Lord, * was granted delight eternal. * Like him, do Thou receive us who cry out: * We all have sinned against Thy compassion; * yet do not overlook us, O Merciful Friend of man.

ΚΑΘΙΣΜΑ Β'.

Ἦχος βαρύς.

Ἐσφραγισμένου τοῦ μνήματος, ἡ ζωὴ ἐκ τάφου ἀνέτειλας Χριστὲ ὁ Θεός· καὶ τῶν θυρῶν κεκλεισμένων, τοῖς Μαθηταῖς ἐπέστης, ἡ πάντων ἀνάστασις· Πνεῦμα εὐθὲς δι' αὐτῶν ἐγκαινίζων ἡμῖν, κατὰ τὸ μέγα σου ἔλεος.

Δόξα.

Ἐπὶ τὸ μνῆμα ἔδραμον γυναῖκες, μετὰ δακρύων μύρα φέρουσαι, καὶ στρατιωτῶν φυλασσόντων σε, τὸν τῶν ὅλων Βασιλέα, ἔλεγον πρὸς ἑαυτάς· Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον; καὶ φωνῆς Ἀσωμάτων ἤκουον λεγούσης. Ἀνέστη ὁ μεγάλης βουλῆς Ἄγγελος, πατήσας τὸν θάνατον. Παντοδύναμε Κύριε, δόξα σοι.

Καὶ νῦν. ΤΗΣ ΕΟΡΤΗΣ. *Ἦχος πλ. β'.*

Μόνον ἐπάγη τὸ ξύλον, Χριστὲ τοῦ Σταυροῦ σου, τὰ θεμέλια ἐσαλεύθησαν τοῦ θανάτου Κύριε· ὃν γὰρ κατέπιε πόθῳ ὁ ᾅδης, ἀπέλυσε τρόμῳ. Ἐδειξας ἡμῖν τὸ σωτήριόν σου ἅγιε, καὶ δοξολογοῦμέν σε Υἱὲ Θεοῦ· ἐλέησον ἡμᾶς.

ΕΥΛΟΓΗΤΑΡΙΑ ΑΝΑΣΤΑΣΙΜΑ. *Ἦχος πλ. α'.*

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν Ἀγγέλων ὁ δῆμος, κατεπλάγη ὁρῶν σε, ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δὲ Σωτήρ, τὴν ἰσχὺν καθελόντα, καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα, καὶ ἐξ Ἅδου πάντας ἐλευθερώσαντα.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τί τὰ μύρα, συμπαθῶς τοῖς δάκρυσιν, ὦ Μαθήτριαι κιρνᾶτε; ὁ ἀστράπτων ἐν τῷ τάφῳ Ἄγγελος, προσεφθέγγετο ταῖς Μυροφόροις· Ἴδετε ὑμεῖς τὸν τάφον καὶ ᾄσθητε· ὁ Σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Λίαν πρωΐ, Μυροφόροι ἔδραμον, πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι· ἀλλ' ἐπέστη, πρὸς αὐτὰς ὁ Ἄγγελος, καὶ εἶπε· θρήνου ὁ καιρὸς πέπαυται, μὴ κλαίετε, τὴν Ἀνάστασιν δέ, Ἀποστόλοις εἴπατε.

KATHISMA II.

Grave Mode.

Whilst the tomb was sealed, Thou, O Life, didst shine forth from the grave, O Christ God; and whilst the doors were shut, Thou didst come unto Thy disciples, O Resurrection of all, renewing through them an upright Spirit in us according to Thy great mercy.

Glory.

While the soldiers guarded Thee, the King of all, the women, who were carrying myrrh, tearfully hastened to Thy tomb and they said one to another: Who shall roll away the stone? Then they heard the voice of angels saying: The Angel of Great Counsel is risen, having trampled on death. O Almighty Lord, glory be to Thee.

Both now. FOR THE FEAST. *Mode pl. 2.*

No sooner had the wood of Thy Cross been set in place, O Christ, than the foundations of death were shaken, O Lord. For Him Whom Hades had swallowed with longing, it vomited up with trembling. Thou hast shown us Thy salvation, O Holy One, and we glorify Thee, O Son of God; have mercy on us.

RESURRECTIONAL EVLOGETARIA. *Mode pl. 1.*

Blessed art Thou, O Lord, teach me Thy commandments.

The assembly of Angels was amazed to see Thee accounted among the dead, Thou Who hadst destroyed the might of death, O Saviour, and didst raise Adam with Thyself, and Who hadst freed all men from Hades.

Blessed art Thou, O Lord, teach me Thy commandments.

Why do ye mingle myrrh with tears of compassion, O ye women disciples? The radiant angel in the grave addressed the myrrh-bearing women: Behold the grave and exult, for the Saviour hath arisen from the sepulchre.

Blessed art Thou, O Lord, teach me Thy commandments.

At early morn, the myrrh-bearers hastened to Thy sepulchre with lamentation; but an Angel came to them and said: The time for sorrow is ended; weep ye no longer. And tell the Apostles of the Resurrection.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Μυροφόροι γυναῖκες, μετὰ μύρων ἐλθοῦσαι, πρὸς τὸ μνῆμά σου, Σῶτερ ἐνηχοῦντο. Ἀγγέλου τρανῶς, πρὸς αὐτὰς φθεγγομένου· Τί μετὰ νεκρῶν, τὸν ζῶντα λογίζεσθε; ὡς Θεὸς γάρ, ἐξανέστη τοῦ μνήματος.

Δόξα.

Προσκυνοῦμεν Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν Ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφείμ, κράζοντες τό· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, Κύριε.

Καὶ νῦν.

Ζωοδότην τεκοῦσα, ἐλυτρώσω Παρθένε, τὸν Ἀδὰμ ἁμαρτίας, χαρμονὴν δὲ τῇ Εὔᾳ, ἀντὶ λύπης παρέσχες, ῥεύσαντα ζωῆς, ἴθυνε πρὸς ταύτην δέ, ὁ ἐκ σοῦ σαρκωθείς Θεὸς καὶ ἄνθρωπος.

Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα. Δόξα σοι, ὁ Θεός. (3)

Ἱερεύς: Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Χορός: Σοί, Κύριε.

Ἱερεύς: Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χορός: Ἀμήν.

Blessed art Thou, O Lord, teach me Thy commandments.

The myrrh-bearing women came with myrrh unto Thy tomb, O Saviour, and they heard an angel saying unto them: Why de count the Living among the dead? For, as God, He is risen from the sepulchre.

Glory.

We worship the Father, and His Son, and the Holy Spirit, the Holy Trinity, one in essence; and we cry out with the Seraphim: Holy, Holy, Holy art Thou, O Lord.

Both now.

By giving birth to the Giver of Life, O Virgin, thou didst rescue Adam from sin, and thou didst grant Eve joy instead of sorry; for the God and Man Who was incarnate of thee guided back to life him that had fallen away therefrom.

Alleluia. Alleluia. Alleluia. Glory to Thee, O God. (3)

Priest: Again and again in peace let us pray to the Lord.

Choir: Lord, have mercy.

Priest: Help us, save us, have mercy on us, and protect us, O God, by Thy grace.

Choir: Lord, have mercy.

Priest: Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

Choir: To Thee, O Lord.

Priest: For blessed is Thy name, and glorified is Thy kingdom, of the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

Choir: Amen.

Ἀναγνώστης:

ΥΠΑΚΟΗ.

Ἦχος βαρύς.

Ὁ ἡμετέραν μορφὴν ἀναλαβών, καὶ ὑπομείνας Σταυρὸν σωματικῶς, σῶσόν με τῇ ἀναστάσει σου, Χριστὲ ὁ Θεός, ὡς φιλάνθρωπος.

Χορός:

ΟΙ ΑΝΑΒΑΘΜΟΙ.

Ἀντίφωνον Α'. Ἦχος βαρύς.

Τὴν αἰχμαλωσίαν Σιών, ἐκ πλάνης ἐπιστρέψας, κἀμὲ Σωτὴρ ζώωσον, ἐξαίρων δουλοπαθείας.

Ἐν τῷ νότῳ ὁ σπείρων θλίψεις, νηστείας μετὰ δακρύων, οὗτος χαρᾶς δρέψεται, δράγματα ἀειζωοτροφίας.

Δόξα· καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πηγὴ τῶν θείων θησαυρισμάτων, ἐξ οὗ σοφία, σύνεσις, φόβος· αὐτῷ αἴνεσις, δόξα, τιμή, καὶ κράτος.

Ἀντίφωνον Β'.

Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον τὸν τῆς ψυχῆς, μάτην κοπιῶμεν· πλὴν γὰρ αὐτοῦ, οὐ πρᾶξις, οὐ λόγος τελεῖται.

Τοῦ καρποῦ τῆς γαστρός, οἱ Ἅγιοι πνευματοκινήτως, ἀναβλαστοῦσι, πατρῷα δόγματα υἱοθεσίας.

Δόξα· καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τὰ σύμπαντα τὸ εἶναι ἔχει· πρὸ πάντων γὰρ Θεός, τῶν ὅλων κυριότης, φῶς ἀπρόσιτον, ζωὴ τῶν πάντων.

Ἀντίφωνον Γ'.

Οἱ φοβούμενοι τὸν Κύριον, ὁδοὺς ζωῆς εὑρόντες, νῦν καὶ ἀεὶ μακαριοῦνται, δόξῃ ἀκηράτῳ.

Κύκλῳ τῆς τραπέζης σου, ὡς στελέχη βλέπων τὰ ἔκγονά σου, χαῖρε εὐφραίνου, προσάγων ταῦτα, τῷ Χριστῷ ποιμενάρχα.

Reader:

HYPAKOE.

GRAVE MODE.

O Thou Who hast taken our image and our likeness, and endured crucifixion in the flesh, save me by Thy Resurrection, O Christ God, for Thou art the Lover of Mankind.

Choir:

ANAVATHMOI.

Antiphon 1. GRAVE MODE.

Having turned the captivity of Sion away from error, do Thou, O Saviour, quicken me also, delivering me from slavery to the passions.

In the south, he that soweth afflictions and fastings with tears, the same shall reap sheaves of joy of everlasting nourishment.

Glory. Both now.

In the Holy Spirit is there the source of divine treasures. From Him cometh wisdom, understanding, and fear; to Him is due praise, glory, honour, and dominion.

Antiphon 2.

Except the Lord build the house of the soul, in vain do we labour; for without Him, neither act nor word is accomplished.

Moved by the Spirit, the Saints, the reward of the fruit of the womb, bring forth as fruit their Father's doctrines of adoption.

Glory. Both now.

In the Holy Spirit all things have existence; for He is God before all things, Lord of all, Light unapproachable, the Life of all.

Antiphon 3.

They that fear the Lord, in that they have found the paths of life, now and ever are blessed with undefiled glory.

Seeing thine offspring round about thy table as branches, rejoice and be glad, offering them to Christ, O chief shepherd.

Δόξα· καὶ νῦν.

Ἁγίῳ Πνεύματι, βυθὸς χαρισμάτων, πλοῦτος δόξης, κριμάτων βάθος μέγα· ὁμόδοξον Πατρὶ καὶ Υἱῷ, λατρευτὸν γάρ.

ΠΡΟΚΕΙΜΕΝΟΝ.

Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος. (δίς)

Στίχ. *Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου.*

Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.

Ode 6: Short Litany

Ἱερεύς: Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Χορός: Σοί, Κύριε.

Ἱερεύς: Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χορός: Ἀμήν.

Glory. Both now.

In the Holy Spirit there is a depth of gifts, a wealth of glory, a great abyss of judgments; for He is to be worshipped as one in glory with the Father and the Son.

PROKEIMENON.

Arise, O Lord my God, let Thy hand be lifted high; forget not Thy paupers to the end. (2)

Verse: *I will confess Thee, O Lord, with my whole heart, I will tell of all Thy wonders.*

Arise, O Lord my God, let Thy hand be lifted high; forget not Thy paupers to the end.

Ode 6: Short Litany

Priest: Again and again in peace let us pray to the Lord.

Choir: Lord, have mercy.

Priest: Help us, save us, have mercy on us, and protect us, O God, by Thy grace.

Choir: Lord, have mercy.

Priest: Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

Choir: To Thee, O Lord.

Priest: For Thou art the King of peace and the savior of our souls, and to Thee we offer up glory, to the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

Choir: Amen.

Ἀναγνώστης:

ΚΟΝΤΑΚΙΟΝ ΤΗΣ ΕΟΡΤΗΣ.

Ἦχος δ'. Αὐτόμελον.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός. Εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων· τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

ΚΟΝΤΑΚΙΟΝ ΑΝΑΣΤΑΣΙΜΟΝ.

Οὐκέτι τὸ κράτος τοῦ θανάτου, ἰσχύσει κατέχειν τοὺς βροτούς· Χριστὸς γὰρ κατῆλθε συντρίβων, καὶ λύων τὰς δυνάμεις αὐτοῦ· δεσμεῖται ὁ ᾅδης, Προφῆται συμφώνως ἀγάλλονται· Ἐπέστη, λέγοντες, Σωτὴρ τοῖς ἐν σκότει· ἐξέρχεσθε οἱ πιστοὶ εἰς τὴν ἀνάστασιν.

Ο ΟΙΚΟΣ.

Ἔτρεμε κάτωθεν τὰ καταχθόνια σήμερον, ὁ ᾅδης καὶ ὁ θάνατος τὸν Ἕνα τῆς Τριάδος· ἡ γῆ ἐκλονεῖτο, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν· ἡ κτίσις δὲ πᾶσα σὺν τοῖς Προφήταις χαίρουσα ψάλλει σοι, ἐπινίκιον ᾠδὴν τῷ λυτρωτῇ ἡμῶν Θεῷ, τῷ καταλύσαντι νῦν θανάτου τὴν δύναμιν. Ἀλαλάξωμεν καὶ βοήσωμεν τῷ Ἀδάμ, καὶ τοῖς ἐξ Ἀδάμ· Ξύλον τοῦτον εἰσήγαγεν· ἐξέρχεσθε οἱ πιστοὶ εἰς τὴν ἀνάστασιν.

Ὁ λαὸς ἵσταται διὰ τὴν ἀνάγνωσιν τοῦ Συναξαρίου.

ΣΥΝΑΞΑΡΙΟΝ

ΤΟΥ ΜΗΝΑΙΟΥ.

Τῇ Κ' τοῦ αὐτοῦ μηνός τοῦ ἁγίου Μεγαλομάρτυρος Εὐσταθίου καὶ Θεοπίστης, συμβίου αὐτοῦ, καὶ τῶν δύο υἱῶν αὐτῶν, Ἀγαπίου καὶ Θεοπίστου.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων Πατέρων ἡμῶν καὶ Ὁμολογητῶν Ὑπατίου Ἐπισκόπου καὶ Ἀνδρέου Πρεσβυτέρου.

Reader:

KONTAKION OF THE FEAST.

Mode 4. Automelon.

Thou Who wast raised up on the Cross of Thine own will, * O Christ our God, do Thou bestow Thy compassions * upon this, Thy new commonwealth named after Thee. * Gladden with Thy sov'reign, might * our most Orthodox hierarchs, * and vouchsafe them victory * over every false teaching; * and as Thy help in war may they possess * the weapon of peace, the trophy invincible.

RESURRECTIONAL KONTAKION.

No longer will the dominion of death be able to keep men captive; for Christ hath descended, destroying and dispelling the powers thereof. Hades is bound; the Prophets rejoice with one accord, saying: The Savior hath come for them that have faith. Come forth, ye faithful, for the Resurrection.

OIKOS.

The nethermost regions, Hades and death, trembled below today beholding One of the Trinity. The earth was shaken, and the gatekeepers of Hades, on seeing Thee, were terrified. But the whole creation rejoiceth with the prophets and chanteth a song of victory unto Thee, our Redeemer and God, Who hast now destroyed the power of death. Let us shout with jubilation, and let us cry unto Adam and unto Adam's children: A Tree hath given him entry. Come forth, ye faithful, for the Resurrection.

Stand for the reading of the Synaxarion.

SYNAXARION

FROM THE MENAION.

On September 20, we commemorate the holy Great-martyr Eustathius, and his wife Theopisti, and their two sons Agapius and Theopistus.

On this day we commemorate our holy fathers Hypatius the bishop and Andrew the presbyter, the Confessors.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων Μαρτίνου, Πάπα Ῥώμης, Μαξίμου, καὶ τῶν σὺν αὐτοῖς.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων Μαρτύρων Ἀρτεμιδώρου καὶ Θαλοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν Μελετίου, Ἐπισκόπου Κύπρου.

Καὶ μνήμη τοῦ ἐν Ὁμολογηταῖς μεγίστου Ἰωάννου τοῦ Αἰγυπτίου.

Ὁ ἅγιος Νέος ὁσιομάρτυς Ἱλαρίων ὁ Κρής, ὁ ἐν Κωνσταντιουπόλει μαρτυρήσας κατὰ τῷ ,αωδ' (1804), ξίφει τελειοῦται.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

KATAVASIAS ODES 1-8

Χορός:

ὨΙδὴ α'. Καταβασία. Ἦχος πλ. δ'.

Σταυρὸν χαράξας Μωσῆς, ἐπ' εὐθείας ῥάβδῳ, τὴν Ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι· τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι, κροτήσας ἤνωσεν, ἐπ' εὔρους διαγράψας, τὸ ἀήττητον ὅπλον· διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν ὅτι δεδόξασται.

ὨΙδὴ γ'. Καταβασία. Ἦχος πλ. δ'.

Ῥάβδος εἰς τύπον, τοῦ μυστηρίου παραλαμβάνεται· τῷ βλαστῷ γὰρ προκρίνει τὸν ἱερέα· τῇ στειρευούσῃ δὲ πρώην, Ἐκκλησίᾳ νῦν ἐξήνθησε, ξύλον Σταυροῦ, εἰς κράτος καὶ στερέωμα.

ὨΙδὴ δ'. Καταβασία. Ἦχος πλ. δ'.

Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν θεότητα.

ὨΙδὴ ε'. Καταβασία. Ἦχος πλ. δ'.

Ὦ τρισμακάριστον ξύλον! ἐν ᾧ ἐτάθη Χριστός, ὁ Βασιλεὺς καὶ Κύριος· δι' οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν σοὶ δελεασθείς, Θεῷ τῷ προσπαγέντι σαρκί, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

On this day we commemorate the Saints Martin Pope of Rome, Maximus, and those with them.

On this day we commemorate the holy martyrs Artemidorus and Thales.

On this day we commemorate our devout Father Meletius, bishop of Cyprus.

We also commemorate John the Egyptian, the great Confessor.

The new monastic martyr Hilarion the Cretan witnessed in Constantinople in the year 1804 and died by the sword.

By the intercessions of Your Saints, O God, have mercy on us. Amen.

KATAVASIAS ODES 1-8

Choir:

Ode i. Mode pl. 4.

Across did Moses inscribe, when with an upright stroke of his rod he divided the Red Sea for Israel, who went on foot; then he turned and smote the sea, once again uniting it o'er Pharaoh's chariots, with transverse stroke portraying the invincible weapon. Wherefore, let us praise in song Christ our God; for He truly is glorified.

Ode iii. Mode pl. 4.

The staff clearly budded as a prefigurement of this mystery, for it showed forth the priest whom God had appointed. And from the Church, which of old used to be barren, there hath blossomed forth the wood of the Cross as power and a firm support.

Ode iv. Mode pl. 4.

I have hearkened and heard, O Lord, of Thy dispensation's most awesome mystery; and I came to knowledge of Thy works, and I sang the praise of Thy Divinity.

Ode v. Mode pl. 4.

O Tree divine and thrice blessed, whereon Christ God was outstretched, though He is King and Lord of all. He that once had used a tree for man's deception fell himself because of thee, ensnared when God was nailed unto thee in our mortal flesh, He Who granteth to our souls His peace.

Ὠδὴ Ϛ'. Καταβασία. Ἦχος πλ. δ'.

Νοτίου θηρὸς ἐν σπλάγχνοις, παλάμας Ἰωνᾶς, σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον πάθος, προδιετύπου σαφῶς· ὅθεν τριήμερος ἐκδύς, τὴν ὑπερκόσμιον ἀνάστασιν ὑπεζωγράφησε, τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ ἐγέρσει, τὸν κόσμον φωτίσαντος.

Ὠδὴ ζ'. Καταβασία. Ἦχος πλ. δ'.

Ἔκνοον πρόσταγμα τυράννου δυσσεβοῦς, λαοὺς ἐκλόνησε, πνέον ἀπειλῆς καὶ δυσφημίας θεοστυγοῦς. Ὅμως τρεῖς Παῖδας οὐκ ἐδειμάτωσε, θυμὸς θηριώδης, οὐ πῦρ βρόμιον· ἀλλ' ἀντηχούντι δροσοβόλῳ πνεύματι, πυρὶ συνόντες ἔψαλλον· Ὁ ὑπερύμνητος, τῶν πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Καταβασία. Ἦχος πλ. δ'.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Εὐλογεῖτε Παῖδες, τῆς Τριάδος ἰσάριθμοι, δημιουργὸν Πατέρα Θεόν· ὑμνεῖτε τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα· καὶ ὑπερυψοῦτε, τὸ πᾶσι ζωὴν παρέχον, Πνεῦμα πανάγιον εἰς τοὺς αἰῶνας.

Ὁ λαὸς ἵσταται διὰ τὴν ἀνάγνωσιν τοῦ Εὐαγγελίου.

Τοῦ Κυρίου δεηθῶμεν.

Χορός: Κύριε, ἐλέησον.

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χορός: Ἀμήν.

Ἦχος β'.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. (δίς) Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Χορός: Κύριε, ἐλέησον. *(3)*

Σοφία. Ὀρθοί. Ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ode vi. Mode pl. 4.

While trapped in the sea beast's belly, the Prophet Jonah raised his hands while stretching arms out crosswise; hence, he clearly prefigured the saving Passion of Christ. As he emerged after three days, he thus portrayed Christ's most transcendent Resurrection from the dead, He our God, Who was nailed in the flesh for our sakes, and by His third day Arising illumined the universe.

Ode vii. Mode pl. 4.

The senseless decree of the ungodly tyrant caused the people fear and dread, for it issued threats hateful to God for their blasphemy. Yet, the three Children still were not struck with fear by bestial rage nor by the roaring fire; but as they stood amidst the flames, a breeze of dew refreshed them as they cried aloud: O highly praised God of our Fathers and our God, forever Thou art blessed.

Ode viii. Mode pl. 4.

We praise and we bless and we worship the Lord.

Being same in number as the Trinity, children three, bless ye the Father, Maker and God, and praise ye the Word Who of old descended in the furnace, changing the raging fire to dew; and do ye supremely exalt the All holy Spirit, the Giver of life to all unto the ages.

Stand for the Gospel reading.

Let us pray to the Lord.

Choir: Lord, have mercy.

For Thou, our God, are holy, and Thou rest among the Saints, and to Thee we offer up glory, to the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

Choir: Amen.

Mode 2.

Let everything that breathes praise the Lord. (2) Let everything that breathes praise the Lord.

Let us pray to the Lord our God that we may be found worthy to hear the holy Gospel.

Choir: Lord, have mercy. (3)

Wisdom. Arise. Let us hear the holy Gospel.

Εἰρήνη πᾶσι.

Χορός: Καὶ τῷ πνεύματί σου.

Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Πρόσχωμεν.

Δόξα σοι, Κύριε, δόξα σοι.

ΕΩΘΙΝΟΝ Ε'

Λουκᾶν 24:12 – 35

Τῷ καιρῷ ἐκείνῳ, ὁ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα, καὶ ἀπῆλθε πρὸς ἑαυτόν, θαυμάζων τὸ γεγονός. Καὶ ἰδοὺ δύο ἐξ αὐτῶν ἦσαν πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ εἰς κώμην ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ Ἰερουσαλήμ, ᾗ ὄνομα Ἐμμαούς. καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλήλους περὶ πάντων τῶν συμβεβηκότων τούτων. καὶ ἐγένετο ἐν τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν καὶ αὐτὸς ὁ Ἰησοῦς ἐγγίσας συνεπορεύετο αὐτοῖς· οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο τοῦ μὴ ἐπιγνῶναι αὐτόν. εἶπε δὲ πρὸς αὐτούς· τίνες οἱ λόγοι οὗτοι οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες καί ἐστε σκυθρωποί; ἀποκριθεὶς δὲ ὁ εἷς, ᾧ ὄνομα Κλεόπας, εἶπε πρὸς αὐτόν· σὺ μόνος παροικεῖς ἐν Ἰερουσαλὴμ καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις; καὶ εἶπεν αὐτοῖς· ποῖα; οἱ δὲ εἶπον αὐτῷ· τὰ περὶ Ἰησοῦ τοῦ Ναζωραίου, ὃς ἐγένετο ἀνὴρ προφήτης δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ ἐναντίον τοῦ Θεοῦ καὶ παντὸς τοῦ λαοῦ, ὅπως τε παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρῖμα θανάτου καὶ ἐσταύρωσαν αὐτόν. ἡμεῖς δὲ ἠλπίζομεν ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ· ἀλλά γε σὺν πᾶσι τούτοις τρίτην ταύτην ἡμέραν ἄγει σήμερον ἀφ᾽ οὗ ταῦτα ἐγένετο. ἀλλὰ καὶ γυναῖκές τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς γενόμεναι ὄρθριαι ἐπὶ τὸ μνημεῖον, καὶ μὴ εὑροῦσαι τὸ σῶμα αὐτοῦ ἦλθον λέγουσαι καὶ ὀπτασίαν ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν ζῆν. καὶ ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ εὗρον οὕτω καθὼς καὶ αἱ γυναῖκες εἶπον, αὐτὸν δὲ οὐκ εἶδον.

Peace be with all.

Choir: And with your spirit.

The reading is from the holy Gospel according to Luke.

Let us be attentive.

Glory to Thee, O Lord, glory to You.

EOTHINON 5

Luke. 24:12 – 35

At that time, Peter rose and ran to the tomb; stooping and looking in, he saw the linen cloths by themselves; and he went home wondering at what had happened. And behold, two of them were going to a village named Emmaus, about seven miles from Jerusalem, and talking with each other about all these things that had happened. While they were talking and discussing together, Jesus himself drew near and went with them. But their eyes were kept from recognizing him. And he said to them, “What is this conversation which you are holding with each other as you walk, looking sad?” Then one of them, named Cleopas, answered him, “Are you the only visitor to Jerusalem who does not know the things that have happened there in these days?” And he said to them, “What things?” And they said to him, “Concerning Jesus of Nazareth, who was a prophet mighty in deed and word before God and all the people, and how our chief priests and rulers delivered him up to be condemned to death, and crucified him. But we had hoped that he was the one to redeem Israel. Yes, and besides all this, it is now the third day since this happened. Moreover, some women of our company amazed us. They were at the tomb early in the morning and did not find his body; and they came back saying that they had even seen a vision of angels, who said that he was alive. Some of those who were with us went to the tomb, and found it just as the women had said;

καὶ αὐτὸς εἶπε πρὸς αὐτούς· ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν οἷς ἐλάλησαν οἱ προφῆται! οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστὸν καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ; καὶ ἀρξάμενος ἀπὸ Μωϋσέως καὶ ἀπὸ πάντων τῶν προφητῶν διηρμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς γραφαῖς τὰ περὶ ἑαυτοῦ.

Καὶ ἤγγισαν εἰς τὴν κώμην οὗ ἐπορεύοντο, καὶ αὐτὸς προσεποιεῖτο πορρωτέρω πορεύεσθαι· καὶ παρεβιάσαντο αὐτὸν λέγοντες· μεῖνον μεθ᾽ ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστὶ καὶ κέκλικεν ἡ ἡμέρα. καὶ εἰσῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς. καὶ ἐγένετο ἐν τῷ κατακλιθῆναι αὐτὸν μετ᾽ αὐτῶν λαβὼν τὸν ἄρτον εὐλόγησε, καὶ κλάσας ἐπεδίδου αὐτοῖς. αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοί, καὶ ἐπέγνωσαν αὐτόν· καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ᾽ αὐτῶν. καὶ εἶπον πρὸς ἀλλήλους· οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ καὶ ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς; Καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ ὑπέστρεψαν εἰς Ἰερουσαλήμ, καὶ εὗρον συνηθροισμένους τοὺς ἕνδεκα καὶ τοὺς σὺν αὐτοῖς, λέγοντας ὅτι ἠγέρθη ὁ Κύριος ὄντως καὶ ὤφθη Σίμωνι. καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου.

Χορός: Δόξα σοι, Κύριε, δόξα σοι.

Ἀναγνώστης: Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον Κύριον Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν καὶ τὴν ἁγίαν σου ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοί, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ· Σταυρὸν γὰρ ὑπομείνας δι᾽ ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

Χορός:

ΨΑΛΜΟΣ Ν' (50). *Ἦχος β'. (ἢ τῆς ἑβδομάδος.)*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

but him they did not see." And he said to them, "O foolish men, and slow of heart to believe all that the prophets have spoken! Was it not necessary that the Christ should suffer these things and enter into his glory?" And beginning with Moses and all the prophets, he interpreted to them in all the scriptures the things concerning himself.

So they drew near to the village to which they were going. He appeared to be going further, but they constrained him, saying, "Stay with us, for it is toward evening and the day is now far spent." So he went in to stay with them. When he was at table with them, he took the bread and blessed, and broke it, and gave it to them. And their eyes were opened and they recognized him; and he vanished out of their sight. They said to each other, "Did not our hearts burn within us while he talked to us on the road, while he opened to us the scriptures?" And they rose that same hour and returned to Jerusalem; and they found the eleven gathered together and those who were with them, who said, "The Lord has risen indeed, and has appeared to Simon!" Then they told what had happened on the road, and how he was known to them in the breaking of the bread.

Choir: Glory to Thee, O Lord, glory to You.

Reader: Having beheld the Resurrection of Christ, let us worship the holy Lord Jesus, the only sinless one. Thy Cross, O Christ, we venerate, and Thy holy Resurrection we praise and glorify. For Thou art our God; apart from Thee we know no other; we call upon Thy name. Come, all ye faithful, let us venerate the holy Resurrection of Christ; for behold, through the Cross, joy hath come to all the world. Ever blessing the Lord, let us praise His Resurrection; for having endured the Cross for us, He hath destroyed death by death.

Choir:

PSALM 50 (51). *Mode 2. (or the Mode of the week)*

Have mercy upon me, O God, according to thy lovingkindness: according unto the multitude of thy tender mercies blot out my transgression.

Wash me throughly from mine iniquity, and cleanse me from my sin.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

For I acknowledge my transgressions: and my sin is ever before me.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Against thee, thee only, have I sinned, and done this evil in thy sight: that thou mightest be justified when thou speakest, and prevail when thou art judged.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Behold, I was shapen in iniquity; and in sin did my mother conceive me.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Behold, thou desirest truth in the inward parts: and in the hidden part thou shalt make me to know wisdom.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Purge me with hyssop, and I shall be clean: wash me, and I shall be whiter than snow.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Make me to hear joy and gladness; that the bones which thou hast humbled may rejoice.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Hide thy face from my sins, and blot out all mine iniquities.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Create in me a clean heart, O God; and renew a right spirit within me.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Cast me not away from thy presence; and take not thy holy spirit from me.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Restore unto me the joy of thy salvation; and uphold me with thy governing spirit.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Then will I teach transgressors thy ways; and sinners shall be converted unto thee.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Deliver me from bloodguiltiness, O God, thou God of my salvation: and my tongue shall sing aloud of thy righteousness.

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

O Lord, open thou my lips; and my mouth shall shew forth thy praise.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

For thou desirest not sacrifice; else would I give it: thou delightest not in burnt offering.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

The sacrifices of God are a broken spirit: a broken and a contrite heart, O God, thou wilt not despise.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.

Do good in thy good pleasure unto Zion: build thou the walls of Jerusalem.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. Καὶ ἐλέησόν με, ὁ Θεός.

Δόξα.

Ταῖς τῶν Ἀποστόλων πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. *Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.*

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωήν, καὶ μέγα ἔλεος.

Ἱερεύς: Σῶσον ὁ Θεὸς τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν ὀρθοδόξων καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια·

πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἐν ἁγίοις πατέρων ἡμῶν μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, καὶ Νεκταρίου Πενταπόλεως τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ τροπαιοφόρου, Δημητρίου τοῦ μυροβλήτου, Θεοδώρου τοῦ τήρωνος, Θεοδώρου τοῦ στρατηλάτου, Μηνᾶ τοῦ θαυματουργοῦ· τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου, τῆς ἁγίας ἐνδόξου μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας·

Then shalt thou be pleased with the sacrifices of righteousness, with burnt offering and whole burnt offering

Then shall they offer bullocks upon thine altar. And have mercy on me O God.

Glory.

At the intercession of the Apostles, O Lord of mercy, blot out my many offences.

Both now.

At the intercession of the Theotokos, O Lord of mercy, blot out my many offenses.

Verse: *Have mercy on me, O God, according to Thy great mercy; and according to the abundance of Thy compassion, blot out my transgression.*

Jesus, having risen from the grave as He foretold, has granted us eternal life and great mercy.

Priest: O God, save Your people and bless Your inheritance. Look upon Your world with mercy and compassion. Exalt the horn of Orthodox Christians, and send down upon us Your rich mercies:

through the intercessions of our all-immaculate Lady Theotokos and ever-virgin Mary, by the power of the precious and life-giving Cross, the protection of the honorable, heavenly, bodiless powers, the supplications of the honorable, glorious prophet and forerunner John the Baptist, the holy, glorious, and praiseworthy apostles, our fathers among the saints, the great hierarchs and ecumenical teachers Basil the Great, Gregory the Theologian, and John Chrysostom; Athanasius, Cyril, and John the Merciful, patriarchs of Alexandria, Nicholas, bishop of Myra, Spyridon, bishop of Trimythous, Nektarios of Pentapolis, the wonderworkers; the holy, glorious, great martyrs George the triumphant, Demetrios the myrrh-streamer, Theodore the soldier, and Theodore the general; Menas the wonderworker; Charalampus and Eleutherius, the hieromartyrs; the holy, glorious, and victorious martyrs;

τῶν ἁγίων ἐνδόξων μαρτύρων Θέκλας, Βαρβάρας, Ἀναστασίας, Αἰκατερίνης, Κυριακῆς, Φωτεινῆς, Μαρίνης, Παρασκευῆς καὶ Εἰρήνης· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν·

(τοῦ ἁγίου τοῦ ναοῦ)· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Εὐσταθίου καὶ τῆς συνοδίας αὐτοῦ, ὧν καὶ τὴν μνήμην ἐπιτελοῦμεν· καὶ πάντων σου τῶν ἁγίων·

ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

Χορός: Κύριε, ἐλέησον. *(ιβ')*

Ἱερεύς: Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χορός: Ἀμήν.

Ὁ λαὸς ἵσταται διὰ τὴν Θ' Ὠδήν.

Διάκονος: Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

Χορός:

Ὠδὴ θ'.

ΜΕΓΑΛΥΝΑΡΙΟΝ.

Ἦχος πλ. δ'.

Στίχ. *Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. *Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδού γάρ, ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

the glorious great Martyr and all-laudable Euphemia; the holy and glorious Martyrs Thecla, Barbara, Anastasia, Catherine, Kyriaki, Photini, Marina, Paraskevi and Irene;

our venerable and God-bearing fathers; (local patron saint); the holy and righteous ancestors of God Joachim and Anna; of the holy and glorious Great-martyr Eustathius and his companions, whose memory we celebrate, and all Your saints:

We beseech Thee, only merciful Lord, hear us sinners who pray to Thee and have mercy on us.

Choir: Lord, have mercy. (12)

Priest: Through the mercy, compassion, and love for mankind of Thine only-begotten Son, with whom Thou art blessed, and Thine all-holy, good and life-creating Spirit, now and ever and to the ages of ages.

Choir: Amen.

Stand for the singing of Ode ix.

Deacon: Let us honor and magnify in song the Theotokos and the Mother of the light.

Choir:

Ode ix.

THE MAGNIFICAT.

Mode pl. 4.

Verse: *My soul magnifies the Lord, and my spirit has rejoiced in God my Savior.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Verse: *For He has regarded the lowly state of His maidservant; for behold, henceforth all generations will call me blessed.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Στίχ. *Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καί το ἔλεος αὐτοῦ εἰς γενεάν, καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. *Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. *Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. *Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς Πατέρας ἡμῶν, τῷ Ἀβραάμ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.*

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Ὠδὴ θ'. Καταβασία. Ἦχος πλ. δ'.

Μυστικὸς εἶ Θεοτόκε Παράδεισος, ἀγεωργήτως βλαστήσασα Χριστόν, ὑφ' οὗ τὸ τοῦ Σταυροῦ, ζωηφόρον ἐν γῇ, πεφυτούργηται δένδρον· δι' οὗ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτόν, σὲ μεγαλύνομεν.

Ἱερεύς: Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Χορός: Κύριε, ἐλέησον.

Ἱερεύς: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Χορός: Κύριε, ἐλέησον.

Verse: *For He who is mighty has done great things for me, and holy is His name. And His mercy is on those who fear Him from generation to generation.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Verse: *He has shown strength with His arm; He has scattered the proud in the imagination of their hearts.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Verse: *He has put down the mighty from their thrones, and exalted the lowly. He has filled the hungry with good things, and the rich He has sent away empty.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Verse: *He has helped His servant Israel, in remembrance of His mercy, as He spoke to our fathers, to Abraham and to his seed forever.*

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify.

Ode ix. Mode pl. 4.

O Theotokos, O thou Mystical Paradise, who without husbandry blossomed forth the Christ, by Whom the very life bearing Tree of the Cross in the earth hath been planted, now at its exaltation, Him we worship and thee do we magnify.

Priest: Again and again in peace let us pray to the Lord.

Choir: Lord, have mercy.

Priest: Help us, save us, have mercy on us, and protect us, O God, by Thy grace.

Choir: Lord, have mercy.

Ἱερεύς: Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Χορός: Σοί, Κύριε.

Ἱερεύς: Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χορός: Ἀμήν.

Ἦχος β'.

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. (δίς)

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.

Ὅτι ἅγιός ἐστι.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ.

ΤΟ Ε' ΕΩΘΙΝΟΝ.

Ἦχος β'. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ἡ ζωὴ καὶ ὁδὸς Χριστός, ἐκ νεκρῶν τῷ Κλεόπᾳ καὶ τῷ Λουκᾷ συνώδευσεν, οἷς περ καὶ ἐπεγνώσθη, εἰς Ἐμμαοὺς κλῶν τὸν ἄρτον· ὧν ψυχαὶ καὶ καρδίαι, καιόμεναι ἐτύγχανον, ὅτε τούτοις ἐλάλει ἐν τῇ ὁδῷ, καὶ Γραφαῖς ἡρμήνευεν, ἃ ὑπέστη· μεθ' ὧν, Ἠγέρθη, κράξωμεν, ὤφθη τε καὶ τῷ Πέτρῳ.

ΤΩΝ ΑΓΙΩΝ. *Ἦχος γ'. Ἐν πνεύματι τῷ ἱερῷ.*

Τῆς ἀθανάτου δόξης τε, καὶ ζωῆς τῆς ἀλήκτου, ἐπέτυχες καταλιπών, τὰ τοῦ κόσμου ἡδέα, σὺν παισὶ θεόφροσι, καὶ γυναικὶ πανολβίῳ· διὰ τοῦτό σου πόθῳ, τὴν πανίερον καὶ θείαν, ἑορτάζομεν μνήμην.

ΤΗΣ ΕΟΡΤΗΣ. *Ἦχος β'. Τῶν Μαθητῶν ὁρώντων σε.*

Σταυρὸς ὁ φύλαξ πάσης τῆς οἰκουμένης· Σταυρὸς ἡ ὡραιότης τῆς Ἐκκλησίας· Σταυρὸς βασιλέων τὸ κραταίωμα· Σταυρὸς πιστῶν τὸ στήριγμα· Σταυρὸς Ἀγγέλων ἡ δόξα, καὶ τῶν δαιμόνων τὸ τραῦμα.

Priest: Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

Choir: To Thee, O Lord.

Priest: For all the powers of heaven praise Thee, and to Thee they offer up glory, to the Father and the Son and the Holy Spirit, now and ever and to the ages of ages.

Choir: Amen.

Mode 2.

Holy is the Lord our God. (2)

Exalt the Lord our God, and worship at the footstool of His feet.

For He is holy.

EXAPOSTEILARION.

EOTHINON 5.

Mode 2. Let us in faith./Upon that mount in Galilee.

When Christ, Who is the Life and Way, * rose from the dead, He traveled * with Cleopas and Luke, to whom * He was made known for certain, * when He broke bread at Emmaus; * yet they, even before this, * had found their hearts and souls ablaze * when He spake with them, walking *along the way, * and from Holy Writ explained what He suffered. * Let us with them cry: He arose * and He appeared to Peter.

FOR THE SAINTS. *Mode 3. The Elder in the Temple.*

Forsaking this world's vain delights, * thou hast found praise immortal * and life that never hath an end * with thy godly-wise children * and thy most chaste and blessed spouse, * O divine Eustathius. * Wherefore with fervour and longing, * we now celebrate gladly * the divine and all-sacred * festival in thy remembrance.

FOR THE FEAST. *Mode 2. With the disciples.*

The Cross is the guardian of the whole world; * the Cross is the support and staff of the faithful; * the Cross is the beauty of the Church of Christ; * the Cross is the mighty strength of kings; * the Cross is the glory of Angels; * it is the wounding of demons.

Ψάλτης: Κέλευσον, δέσποτα ἅγιε. Ἦχος βαρύς.

Χορός:

ΟΙ ΑΙΝΟΙ.

Ἦχος βαρύς.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν. Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου.

Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων· αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ. καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

Chanter: Your blessing, holy Master! Grave Mode.

Choir:

LAUDS.

GRAVE MODE.

Let every breath praise the Lord. Praise the Lord from the Heavens, praise Him in the highest. To Thee is due praise, O God.

Praise Him, all ye His angels; praise Him, all ye His hosts. To Thee is due praise, O God.

Praise Him, O sun and moon; praise Him, all ye stars and light.

Praise Him, ye heavens of heavens, and thou water that art above the heavens. Let them praise the Name of the Lord;

For He spake, and they came to be; He commanded, and they were created.

He established them for ever, yea, for ever and ever; He hath set an ordinance, and it shall not pass away.

Praise the Lord from the earth, ye dragons, and all ye abysses.

Fire, hail, snow, ice, blast of tempest, which perform His word,

The mountains and all the hills, fruitful trees, and all cedars,

The beasts and all the cattle, creeping things and winged birds.

Kings of the earth, and all peoples, princes and all judges of the earth,

Young men and virgins, elders with the younger; let them praise the Name of the Lord, for exalted is the Name of Him alone.

His praise is above the earth and heaven, and He shall exalt the horn of his people.

This is the hymn for all His saints, for the sons of Israel, and for the people that draw nigh unto Him.

Ἄσατε τῷ Κυρίῳ ᾄσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ οἱ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Sing unto the Lord a new song; His praise is in the church of the saints.

Let Israel be glad in Him that made him, let the sons of Sion rejoice in their King.

Let them praise His Name in the dance; with the timbrel and psaltery let them chant unto Him.

For the Lord taketh pleasure in His people, and He shall exalt the meek with salvation.

The saints shall boast in glory, and they shall rejoice upon their beds.

The high praise of God shall be in their throat, and two edged swords shall be in their hands.

To do vengeance among the heathen, punishments among the peoples.

To bind their kings with fetters, and their nobles with manacles of iron.

ΣΤΙΧΗΡΑ ΑΝΑΣΤΑΣΙΜΑ. ΣΤΙΧΗΡΟΝ Α'. *Ἦχος βαρύς.*

RESURRECTIONAL STICHERA. STICHERON 1. GRAVE MODE.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

To do among them the judgment that is written. This glory shall be to all His saints.

Ἀνέστη Χριστὸς ἐκ νεκρῶν, λύσας θανάτου τὰ δεσμά· εὐαγγελίζου γῆ χαρὰν μεγάλην· αἰνεῖτε οὐρανοὶ Θεοῦ τὴν δόξαν.

Christ is risen from the dead, and hath loosed the bonds of death. Proclaim, O earth, the good tidings of great joy; praise, O ye Heavens, the glory of God.

ΣΤΙΧΗΡΟΝ Β'. *Ἦχος βαρύς.*

STICHERON 2. GRAVE MODE.

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Praise ye God in His saints, praise Him in the firmament of His power.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον Κύριον, Ἰησοῦν τὸν μόνον ἀναμάρτητον.

Let us who have beheld the Resurrection of Christ worship our holy Lord Jesus, Who is alone without sin.

ΣΤΙΧΗΡΟΝ Γ'. *Ἦχος βαρύς.*

STICHERON 3. GRAVE MODE.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Praise Him for His mighty acts; praise Him according to His excellent greatness.

Χριστοῦ τὴν ἀνάστασιν, προσκυνοῦντες οὐ παυόμεθα· αὐτὸς γὰρ ἡμᾶς ἔσωσεν, ἐκ τῶν ἀνομιῶν ἡμῶν· ἅγιος Κύριος Ἰησοῦς, ὁ δείξας τὴν ἀνάστασιν.

We shall not cease from worshipping the Resurrection of Christ; for He hath saved us from our iniquities, even the holy Lord Jesus, Who hath shown us the Resurrection.

ΣΤΙΧΗΡΟΝ Δ'. *Ἦχος βαρύς.*

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ, περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν; δι' ἡμᾶς Θεὸς ἐν ἀνθρώποις· διὰ τὴν καταφθαρεῖσαν φύσιν, ὁ Λόγος σάρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν· πρὸς τοὺς ἀχαρίστους ὁ εὐεργέτης· πρὸς τοὺς αἰχμαλώτους ὁ ἐλευθερωτής· πρὸς τοὺς ἐν σκότει καθημένους, ὁ Ἥλιος τῆς δικαιοσύνης· ἐπὶ τὸν Σταυρόν ὁ ἀπαθής, ἐπὶ τὸν ᾅδην τὸ φῶς· ἐπὶ τὸν θάνατον ἡ ζωή· ἡ ἀνάστασις διὰ τοὺς πεσόντας· πρὸς ὃν βοήσωμεν· Ὁ Θεὸς ἡμῶν δόξα σοι.

ΤΟΥ ΣΤΑΥΡΟΥ. *Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου.*

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ὢ τοῦ παραδόξου θαύματος! τὸ ζωηφόρον φυτόν, ὁ Σταυρὸς ὁ πανάγιος, εἰς ὕψος αἰρόμενος, ἐμφανίζεται σήμερον· δοξολογοῦσι, πάντα τὰ πέρατα· ἐκδειματοῦνται, δαίμονες ἅπαντες. Ὢ οἷον δώρημα, τοῖς βροτοῖς κεχάρισται! δι' οὗ Χριστέ, σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς μόνος εὔσπλαγχνος.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ὢ τοῦ παραδόξου θαύματος! τὸ ζωηφόρον φυτόν, ὁ Σταυρὸς ὁ πανάγιος, εἰς ὕψος αἰρόμενος, ἐμφανίζεται σήμερον· δοξολογοῦσι, πάντα τὰ πέρατα· ἐκδειματοῦνται, δαίμονες ἅπαντες. Ὢ οἷον δώρημα, τοῖς βροτοῖς κεχάρισται! δι' οὗ Χριστέ, σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς μόνος εὔσπλαγχνος.

Στίχ. *Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι.*

Ὢ τοῦ παραδόξου θαύματος! ὡς βότρυν πλήρη ζωῆς, ὁ βαστάσας τὸν ὕψιστον, ἀπὸ γῆς ὑψούμενος, Σταυρὸς ὁρᾶται σήμερον, δι' οὗ πρὸς Θεόν, πάντες εἱλκύσθημεν, καὶ κατεπόθη, εἰς τέλος θάνατος. Ὢ ξύλον ἄχραντον! ὑφ' οὗ ἀπολαύομεν τῆς ἐν Ἐδέμ, ἀθανάτου βρώσεως, Χριστὸν δοξάζοντες.

STICHERON 4. GRAVE MODE.

Praise Him with the sound of the trumpet; praise Him with the psaltery and harp.

What shall we render unto the Lord for all that He hath rendered unto us? For our sakes God came among men; for the sake of corrupted nature, the Word became flesh and dwelt among us. Unto the ungrateful, the Benefactor; unto the prisoners, the Liberator; unto those that sat in darkness, the Sun of Righteousness; upon the Cross, the Impassible One; in Hades, the Light; in death, the Life; the Resurrection for the fallen. Let us cry to Him: O our God, glory be to Thee.

FOR THE CROSS. *Mode pl. 4. What a paradoxal.*

Praise Him with the timbrel and dance; praise Him with stringed instruments and organs.

O strange wonder, great and marvellous! * Today the life-bearing Tree, * the all-holy and precious Cross, * being lifted up on high, * is made manifest openly. * All of the ends of the earth give glory now, * and all the demons are sorely terrified. * O what a gift is this, * kindly granted to us mortal men, O Christ! * whereby save our souls, since Thou alone art merciful.

Praise Him with resounding cymbals; praise Him with triumphant cymbals; let everything that breathes praise the Lord.

O strange wonder, great and marvellous! * Today the life-bearing Tree, * the all-holy and precious Cross, * being lifted up on high, * is made manifest openly. * All of the ends of the earth give glory now, * and all the demons are sorely terrified. * O what a gift is this, * kindly granted to us mortal men, O Christ! * whereby save our souls, since Thou alone art merciful.

Verse: *Exalt ye the Lord our God, and worship the footstool of His feet; for He is holy.*

O strange wonder, great and marvellous! * The Cross, which held the Most High * like a grape-cluster full of life, * clearly doth appear this day * lifted high up above the earth. * Through it, we all have been drawn nigh unto God, * and death is utterly swallowed up at last. * O thou unsullied Tree! * through which, as we send up glory unto Christ, * we partake of Eden's comely and immortal fruit.

Στίχ. *Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.*

Ὦ τοῦ παραδόξου θαύματος! εὖρος καὶ μῆκος Σταυροῦ, οὐρανοῦ ἰσοστάσιον, ὅτι θείᾳ χάριτι, ἁγιάζει τὰ σύμπαντα· ἐν τούτῳ ἔθνη βάρβαρα ἥττηνται· ἐν τούτῳ σκῆπτρα, ἀνάκτων ἤδρασται. Ὦ θείας κλίμακος! δι' ἧς ἀνατρέχομεν εἰς οὐρανούς, ὑψοῦντες ἐν ᾄσμασι, Χριστὸν τὸν Κύριον.

Δόξα. Ἦχος πλ. α'.

ΤΟ Ε' ΕΩΘΙΝΟΝ.

Ὦ τῶν σοφῶν σου κριμάτων Χριστέ! πῶς Πέτρῳ μὲν τοῖς ὀθονίοις μόνοις, ἔδωκας ἐννοῆσαί σου τὴν ἀνάστασιν; Λουκᾷ δὲ καὶ Κλεόπᾳ, συμπορευόμενος ὡμίλεις, καὶ ὁμιλῶν, οὐκ εὐθέως σεαυτὸν φανεροῖς; Διὸ καὶ ὠνειδίζῃ, ὡς μόνος παροικῶν ἐν Ἰερουσαλήμ, καὶ μὴ μετέχων τῶν ἐν τέλει βουλευμάτων αὐτῆς. Ἀλλ' ὁ πάντα πρὸς τὸ τοῦ πλάσματος συμφέρον οἰκονομῶν, καὶ τὰς περὶ σοῦ προφητείας ἀνέπτυξας, καὶ ἐν τῷ εὐλογεῖν τὸν ἄρτον, ἐγνώσθης αὐτοῖς· ὧν καὶ πρὸ τούτου αἱ καρδίαι, πρὸς γνῶσιν σου ἀνεφλέγοντο· οἳ καὶ τοῖς Μαθηταῖς συνηθροισμένοις, ἤδη τρανῶς ἐκήρυττόν σου τὴν ἀνάστασιν· δι' ἧς ἐλέησον ἡμᾶς.

Καὶ νῦν. ΘΕΟΤΟΚΙΟΝ.

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ ᾅδης ἡχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεῖς ἐζωοποιήθημεν· διὸ ἀνυμνοῦντες βοῶμεν· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας δόξα σοι.

Ὁ λαὸς ἵσταται διὰ τὴν Μ. Δοξολογίαν.

Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Verse: *God is our King before the ages, He hath wrought salvation in the midst of the earth.*

O strange wonder, great and marvellous! * The length and breadth of the Cross * is the equal of Heaven's span, * for by means of grace divine, * it doth hallow the universe. * By this, barbarian nations are subdued; * by this, the sceptres of princes are made strong. * O ladder most divine! * whereby we ascend unto the Heavens' heights, * while exalting Christ the Lord with hymns and songs of praise.

Glory. Mode pl. 1.

EOTHINON 5.

O the wisdom of Thy judgments, O Christ! For how is it that Thou gavest Peter to understand Thy Resurrection by Thy burial clothes alone, yet while accompanying Luke and Cleopas Thou didst converse with them, and whole conversing, didst not reveal Thyself straightway? Hence, Thou wast reproached as though Thou alone were a stranger in Jerusalem, who knew not what had come to pass therein of late. But since Thou ordainest all things to the profit of Thy creation, Thou didst both expound the prophecies concerning Thee, and in the blessing of the bread wast made known to them, whose hearts even beforehand were burning to know Thee. Now they also, when the disciples were gathered together, loudly proclaimed Thy Resurrection; whereby do Thou have mercy on us.

Both now. THEOTOKION.

Most blessed art thou, O Virgin Theotokos; for through Him Who was incarnate of thee, Hades was taken captive, Adam was recalled, the curse was annulled, Eve was freed, death was put to death, and we were brought to life. Wherefore, with hymns we cry aloud: Blessed art Thou, O Christ our God, Who hast been thus well pleased; glory be to Thee.

Stand for the Great Doxology.

GREAT DOXOLOGY

Glory be to Thee Who hast shown the light. Glory in the highest to God, and on earth peace, good will among men.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. *(3)*

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

We praise Thee; we bless Thee; we worship Thee; we glorify Thee; we give thanks to Thee for Thy great glory.

O Lord, King, heavenly God, the Father Almighty, O Lord the only begotten Son, Jesus Christ, and the Holy Spirit.

O Lord, God, Lamb of God, Son of the Father, Who takest away the sin of the world: have mercy on us, Thou Who takest away the sins of the world.

Receive our prayer, Thou Who sittest at the right hand of the Father; and have mercy on us.

For Thou alone art holy; Thou alone art Lord, Jesus Christ, to the glory of God the Father. Amen.

Every day will I bless Thee, and I will praise Thy name forever and unto the ages of ages.

Vouchsafe, O Lord, to keep us this day without sin.

Blessed art Thou, O Lord, the God of our Fathers, and praised and glorified is Thy name unto the ages. Amen.

Let Thy mercy, O Lord, be upon us, even as we have hoped in Thee.

Blessed art Thou, O Lord, teach me Thy statutes.

Blessed art Thou, O Lord, teach me Thy statutes.

Blessed art Thou, O Lord, teach me Thy statutes.

Lord, Thou hast been our refuge from generation to generation. I said: O Lord, have mercy on me; heal my soul, for I have sinned against Thee.

O Lord, to Thee have I fled for refuge; teach me to do Thy will, for Thou art my God.

For in Thee is the fountain of life; in Thy light we shall see light.

Continue Thy mercy unto those who know Thee.

Holy God, holy Mighty, holy Immortal, have mercy on us. (3)

Glory to the Father and the Son and the Holy Spirit.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Μετὰ τὸ τέλος τῆς Δοξολογίας λέγομεν Τροπάριον Ἀναστάσιμον.

Ἦχος δ'. (ἢ τῆς ἑβδομάδος.)

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν. Ἄσωμεν τῷ ἀναστάντι ἐκ τάφου καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον, τὸ νῖκος ἔδωκεν ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

Both now and ever and to the ages of ages. Amen.

Holy Immortal, have mercy on us.

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us.

After the Doxology, sing the following Resurrectional Troparion.

Mode 4. (or the Mode of the week)

Today is salvation come unto the world. Let us sing unto the Author of our life Who arose from the grave; for, destroying death by death, He granted us the victory and great mercy.